## 3.3.13 *Ἱκετήριον* (II,1,22) (Παρ. Α)

## Κείμενο

[1]Ὦ Χριστὲ φῶς τῶν ἀνθρώπων, ἔμπυρε στύλε τοῦ Γρηγορίου [2]τῇ ψυχῇ πλανωμένῃ πικρᾶς τοῦ βίου διὰ ἐρήμου, [3]παῦσον τὸν Φαραὼ τὸν κακόβουλον, τοὺς ἀναιδεῖς ἐργοδιώκτας· [4]καὶ τοῦ πηλοῦ με τοῦ ἀδέσμου, τοῦ ἀτάκτου καὶ τῆς αἰγύπτου τῆς βλαβερᾶς [5]ἐξελκύσαις, πληγαῖς ἀπρεπέσι, χαλεπαῖς ὑποτάξας [6]τοὺς ἐχθρούς, ὁμαλὴν δὲ δοίης ὁδόν. Ἐὰν δὲ καταλάβῃ [7]ὁ ἐχθρὸς ἐπειγόμενος, ἀλλὰ σύ μοι καὶ τὴν θάλασσαν τὴν ἐρυθρὰν [8]διαχωρίσειας, στερεὰν δὲ διαπορευθείην θάλασσαν, [9]σπουδάζων εἰς τὴν γῆν τὴν θείαν τὸν ἐμὸν κλῆρον ὥσπερ ἔπαθες· [10]καὶ τοὺς ποταμοὺς στήσειας τοὺς πολλούς, καὶ τῶν ἀλλοεθνῶν [11]κατακλίναις, κάμψαις πολεμικὸν δόρυ τὸ πολυστένακτον. Ἐὰν δὲ ἐπιβῶ [12]τῆς γῆς τῆς ἱερᾶς, ὑμνήσω σε αἰωνίοις ἐν ὕμνοις. [13]Ὦ Χριστὲ βασιλεῦ, διατί με τῆς σαρκὸς ἐν τοῖς δικτύοις τούτοις ἐνέδησας; [14]Διατί ζωῇ φρικτῇ καὶ πηλώδει βαράθρῳ, [15]εἰ μετὰ ἀληθείας ἀθάνατος ὑπάρχω, κλῆρος δὲ σὸς ὡς ἤκουσα; [16]ἐκ μὲν τῶν μελῶν μου ἡ δύναμις ἀπώλετο, καὶ οὐκέτι τὰ γόνατα [17]ἀκολουθεῖ· ἀλλά με παρέλυσεν ὁ χρόνος καὶ νόσος ἀνιαρά, λυπηρά, [18]καὶ τηκτικὴ μέριμνα, καὶ φίλοι ἐχθρὰ φρονοῦντες. [19]Ὑποχωρεῖν δὲ οὐ θέλουσιν αἱ ἁμαρτίαι, ἀλλ' ἔτι πλέον [20]καταπατοῦσιν ἀσθενοῦντα, ὡς κύνες δὲ δειλὸν λαγωόν, [21]οἵτινες ἔλαφον περιέχουσι προθυμούμενοι χορτασθῆναι. [22]Ἢ παῦσον τὴν κακίαν καὶ εὐμενὴς γενοῦ, ἢ ὑπόδεξαί με [23]χρόνον πολὺν ἀγωνισάμενον, κακοπαθήσαντα, καὶ τοῖς πόνοις μέτρον ἐπιγενέσθω, [24]ἢ λήθης νέφος ἀγαθὸν τὰς ἐμὰς διανοίας περικαλύπτοι.

---

**4** ἀτάκτου Pc : ἀστάτου La **14** πηλώδει correxi : πηλώδῃ Pc, La **17** ἀκολουθεῖ La : ἀκολουθεῖς Pc παρέλυσεν ὁ χρόνος Pc : παρέλυσε χρόνος La **18** ἐχθρὰ La : ἐχρὰ Pc **21** περιέχουσι La : περιέχουσιν Pc **22** ὑπόδεξαί correxi : ὑποδέξαι Pc, La **23** κακοπαθήσαντα Pc : κακοπαθοῦντα La